24 Κάδος: μέτρον οἰνηρόν. τριςςῶν οἰνοπέδων τριςςοὺς ἱερώςατο τούςδε ἐμπλήςας οἴνου πρωτοχύτοιο κάδους. ἐν Ἐπιγράμμαςι. Anth.

25 Καδουΐας: βαςιλεὺς Σκυθῶν. Suid.

26 Κάειρα: πόλις καὶ ὄνομα κύριον. Δ

27 Κάϊν: ὁ τοῦ Ἄβελ ἀδελφός, ὃς πλεονέκτης ἦν· ὁ δὲ Ἄβελ δικαιοςύνης ἐπεμελεῖτο. καὶ ὁ Κάϊν κτείνας τὸν Ἄβελ ἔκρυψε τὸν νεκρὸν αὐτοῦ, λαθεῖν ἐντεῦθεν οἰόμενος. καὶ μετὰ τὴν καταδίκην χειρόνως E ἐβίω, ἅρπαξ καὶ πλεονέκτης γενόμενος μέτρα καὶ στάθμια καὶ ὅρους γῆς ἐπενόηςε, καὶ πόλιν κτίςας εἰς ἓν ςυνελθεῖν τοὺς οἰκείους ἠνάγκαςε, καὶ οἱ ἐκ γένους αὐτοῦ εἰς πολέμους ἑαυτοὺς ἀπηςχόλουν. ὅτι εἴρηταί τιςιν, ὡς ὁ Κάϊν ἐκ τῆς τοῦ Διαβόλου ςπορᾶς ἐγένετο καὶ μιςήςας τὸν ἴδιον ἀδελφὸν τὸν Ἄβελ τοῦτον ἀνεῖλεν. εἴρηται δὲ περὶ τούτου καὶ χρῆςις τοῦ κυρίου ἐν τοῖς εὐαγγελίοις πρὸς τοὺς Ἰουδαίους· ὑμεῖς τέκνα ἐςτὲ τοῦ Διαβόλου. ὁ πατὴρ ὑμῶν ἀπ᾽ ἀρχῆς ἀνθρωποκτόνος ἐςτίν, ὡς καὶ ὁ πατὴρ αὐτοῦ. τί δηλοῖ E τό, πᾶς ὁ ἀποκτείνας Κάϊν ἑπτὰ ἐκδικούμενα παραλύςει; τοιαύτην ἔχει τὴν λύςιν· ἕκαςτος τῷ ἑαυτοῦ ἁμαρτήματι ἀποθανεῖται· ὁ δὲ φόνου κατάρξας καὶ τοῖς ἄλλοις τοῦ ἁμαρτήματος ὑφηγητὴς γενόμενος ἑπταπλαςίως τιμωρηθήςεται, τουτέςτι πολλαπλαςίως. ςύνηθες γὰρ τῇ γραφῇ τῷ ἀριθμῷ τούτῳ ἀπροςδιορίςτως κεχρῆςθαι, καί ἐςτιν ἀδιορίςτου πλήθους ςημαντικόν, ὡς τό, ἀπόδος τοῖς γείτοςιν ἡμῶν ἑπταπλαςίονα. καί, ὅτι ςτεῖρα ἔτεκεν ἑπτά. καί, οὐ λέγω ςοι ἕως ἑπτάκις, ἀλλ᾽ ἕως ἑβδομηκοντάκις ἑπτά. τὸ μὲν γὰρ τελευτῆςαι τῶν ἐν βίῳ πονηρῶν ἐπάγει τὴν ἀνάπαυςιν, τὸ δὲ ζῆν ἐν φόβῳ καὶ λύπῃ μυρίους ἐπάγει τοὺς ἐν ςυναιςθήςει θανάτους. τρέμων οὖν καὶ ςτένων ὁ Κάϊν ὥςπερ δαίμονι κάτοχος ἐν ἐπιληψίᾳ πάντα τὸν βίον αὐτοῦ διῆγε, τοῦτο πρὸς τὸ μὴ ἀναιρεθῆναι ὑπό τινος λαβὼν τὸ ςημεῖον. ἐκδικούμενα δέ, εἴτε τὰ παρὰ τῷ Κάϊν ἡμαρτημένα λέγοις, εὑρήςεις ἑπτά· εἴτε παρὰ θεοῦ ἐπ᾽ αὐτῷ ῥηθέντα, οὐδ᾽ οὕτως ἀποτεύξῃ τῆς ἐννοίας. ἐν μὲν γὰρ τοῖς παρὰ τοῦ Κάϊν τετολμημένοις πρῶτον ἁμάρτημα φθόνος ἐπὶ τῇ προτιμήςει Ἄβελ. δεύτερον δόλος, μεθ᾽ οὗ διελέχθη τῷ ἀδελφῷ εἰπών, διέλθωμεν εἰς τὸ πεδίον. τρίτον φόνος, προςθήκη τοῦ κακοῦ. τέταρτον, ὅτι καὶ ἀδελφοῦ φόνος. πέμπτον, ὅτι καὶ πρῶτος φονεὺς πονηρὸν ὑπόδειγμα τῷ βίῳ καταλιπών. ἕκτον, ὅτι γονεῦςι πένθος ἐνεποίηςεν. ἕβδομον, ὅτι θεὸν ἐψεύςατο εἰπών,